Ακαδημία Αθηνών / Academy of Athens

**εὔδηλος.** Ὁλοφάνερος, manifest, Διογένης 2.3 *καὶ τοῦτο* *ε ὔ δ η λ ο ν.* Πρβλ. *δῆλος.*

**εὐδία.** Καλοκαιρία, fair weather, Διογένης 3.4 *καὶ ὑετῶν καὶ ἀνέμων καὶ* *ε ὐ δ ι ῶ ν.* Πρβλ. *χειμών.*

**εὔδοξος.** Εὔφημος, of good fame/laudatory, Ἐμπεδοκλῆς 3.6 *μηδὲ σέ γ'* *ε ὐ δ ό ξ ο ι ο* *βιήσεται ἄνθεα τιμῆς.*

**εὐειδής** (συνών. *καλός*). Καλλίμορφος, well-shaped, Ἐμπεδοκλῆς 100.10 *ἐπ'* *ε ὐ ε ι δ ε ῖ* *χερί.*

**εὐεργετεῖν.** Εὐεργετῶ, benefit, Δημόκριτος 248 *ε ὐ ε ρ γ ε τ ε ῖ ν* *βίον.* Πρβλ. *εὖ ποιεῖν, κακῶς ποιεῖν.*

**εὐεστώ.** Εὐστάθεια ψυχῆς/εὐδαιμονία, well-being, Δημόκριτος A 1 (DK II 84,22) τέλος δ' εἶναι τὴν εὐθυμίαν ... καλεῖ δ' αὐτὴν καὶ ε ὐ ε σ τ ὼ καὶ πολλοῖς ἄλλοις ὀνόμασι A 167 (DKII 129,15) τὴν δ' <εὐδαιμονίαν καὶ> *εὐθυμίαν* καὶ *ε ὐ ε σ τ ὼ* καὶ *ἁρμονίαν, συμμετρίαν* τε καὶ *ἀταραξίαν* καλεῖ 2 c *Περὶ εὐθυμίης ἢ ε ὐ ε σ τ ὼ* (τίτλ.) 4 *τὴν εὐθυμίαν, ἣν καὶ* *ε ὐ ε σ τ ὼ* *προσηγόρευσεν* 140 *ε ὐ ε σ τ ὼ* 257 *πρὸς* *ε ὐ ε σ τ ο ῦ ν* *τοῦτο ἔρδειν μᾶλλον ἢ μή.*

**εὐήθης.** Ἁπλοϊκὸς/ἀφελής, simple/naive, Δημόκριτος 67 *μὴ πᾶσιν, ἀλλὰ τοῖς δοκίμοισι πιστεύειν· τὸ μὲν γὰρ* *ε ὔ η θ ε ς,* *τὸ δὲ σωφρονέοντος.*

**εὐηκής.** Πραϋντικὸς/θεραπευτικός, calming/healing, Ἐμπεδοκλῆς 112.11 *παντοίων ἐπύθοντο κλυεῖν* *ε ὐ η κ έ α* *βάξιν.*

**εὐθηλεῖν.** Ἀνθοφορῶ/ἀκμάζω, flower/flourish, Δημόκριτος 276 *ὀλίγα δὲ τὰ* *ε ὐ θ η λ έ ο ν τ α* *καὶ ταῦτα λεπτά τε καὶ ἀσθενέα.*

**εὐθύγνωμος.** Εὐθὺς/ἀκέραιος, upright/honest, Δημόκριτος 181.7 *ἀνδρεῖος ἅμα καὶ* *ε ὐ θ ύ γ ν ω μ ο ς* *γίγνεται.*

**εὐθυμεῖν** (ἀντίθ. *ἀνιᾶν*). Εὐφραίνω/δίνω χαρά, rejoice/give joy, Δημόκριτος 279 *ἐν γὰρ τῷ ξυνῷ τὰ τελεύμενα οὐκ ἀνιᾷ ὥσπερ*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

*ἰδίῃ οὐδ'* *ε ὐ θ υ μ ε ῖ* *τὰ ἐπικτώμενα.* || **εὐθυμεῖσθαι.** Εὐδαιμονῶ/εὐχαριστοῦμαι, be happy/be content, Δημόκριτος, 3 *τὸν ε ὐ θ υ μ ε ῖ σ θ α ι μέλλοντα χρὴ μὴ πολλὰ πρήσσειν* 189 *ἄριστον ἀνθρώπῳ τὸν βίον διάγειν ὡς πλεῖστα ε ὐ θ υ μ η θ έ ν τ ι καὶ ἐλάχιστα ἀνιηθέντι* 191.18 *τὰ μὲν μὴ δίζεσθαι χρεών, ἐπὶ δὲ τοῖς ε ὐ θ υ μ έ ε σ θ α ι χρεὼν* 286 *εὐτυχὴς ὁ ἐπὶ μετρίοισι χρήμασιν ε ὐ θ υ μ ε ό μ ε ν ο ς.*

**εὐθυμίη.** Εὐφροσύνη/σύμμετρη κατάσταση τῆς ψυχῆς, good condition of the soul/felicity, Δημόκριτος Α 1 (DK II 84,19) τέλος δ' εἶναι τὴν *ε ὐ θ υ μ ί α ν* Α 166 (DK II 129,8) *ε ὐ θ υ μ ί α ν* τὸ κράτιστον εἶναι Α 167 (DK II 129,15) τὴν δ' <εὐδαιμονίαν *καὶ*> *ε ὐ θ υ μ ί α ν καὶ εὐεστὼ καὶ ἁρμονίαν* ... καλεῖ Α 169 (DK II 129,30) summum bonum *ε ὐ θ υ μ ί α ν* et saepe *ἀθαμβίαν* appellat 2 c *Περὶ ε ὐ θ υ μ ί η ς ἢ εὐεστὼ* (τίτλ.) 4 *ε ὐ θ υ μ ί α ν, ἣν καὶ εὐεστὼ* προσηγόρευσεν 191 *ἀνθρώποισι γὰρ ε ὐ θ υ μ ί η γίνεται μετριότητι τέρψιος καὶ βίου συμμετρίῃ.*

**εὔθυμος.** Εὐφρόσυνος/ψυχικὰ σύμμετρος, cheerful/well-disposed, Δημόκριτος 174 *ὁ μὲν ε ὔ θ υ μ ο ς εἰς ἔργα ἐπιφερόμενος δίκαια καὶ νόμιμα καὶ ὕπαρ καὶ ὄναρ χαίρει τε καὶ ἔρρωται καὶ ἀνακηδής ἐστιν* 191.5 *αἱ δ' ἐκ μεγάλων διαστημάτων κινούμεναι τῶν ψυχέων οὔτε εὐσταθέες εἰσὶν οὔτε ε ὔ θ υ μ ο ι.* || **εὐθύμως.** Δημόκριτος 191.22 *ταύτης γὰρ ἐχόμενος τῆς γνώμης ε ὐ θ υ μ ό τ ε ρ ό ν τε διάξεις.*

**εὐθύς** (ἀντίθ. *σκολιός*). Εὐθύγραμμος/ἴσιος, linear/straight, Ἡράκλειτος 59 *γναφείῳ ὁδὸς ε ὐ θ ε ῖ α καὶ σκολιὴ μία ἐστὶ καὶ ἡ αὐτή.*

**εὐκυκλής.** Βλ. **εὔκυκλος.**

**εὔκυκλος.** Ὁλοστρόγγυλος, well-rounded, Παρμενίδης 1.29 *Ἀληθείης ε ὐ κ υ κ λ έ ο ς ἀτρεμὲς ἦτορ* 8.43 *ε ὐ κ ύ κ λ ο υ σφαίρης ἐναλίγκιον ὄγκῳ.*

**εὐλαβής.** Προσεκτικός, cautious, Δημόκριτος 91 *μὴ ὕποπτος πρὸς ἅπαντας, ἀλλ' ε ὐ λ α β ὴ ς γίνου καὶ ἀσφαλής.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ